ἀνὴρ ὑπὲρ ἑξήκοντα γεγονὼς ἔτη καὶ προτείνων ἰατρῷ χεῖρα
καταγέλαστός ἐστιν. ἐμοὶ δὲ τοῦτο μὲν εἰρῆσθαι δοκεῖ σοβαρώ- E
τερον, ἐκεῖνο δ' ἀληθὲς εἶναι, τὸ δεῖν ἕκαστον αὑτοῦ μήτε
σφυγμῶν ἰδιότητος ἄπειρον εἶναι (πολλαὶ γὰρ αἱ καθ' ἕκαστον
διαφοραί) μήτε κρᾶσιν ἀγνοεῖν ἣν ἔχει τὸ σῶμα θερμότητος
καὶ ξηρότητος, μήθ' οἷς ὠφελεῖσθαι χρώμενον ἢ βλάπτεσθαι
πέφυκεν. αὑτοῦ γὰρ ἀναίσθητός ἐστιν καὶ τυφλὸς ἐνοικεῖ τῷ
σώματι καὶ κωφὸς ὁ ταῦτα μανθάνων παρ' ἑτέρου καὶ πυν-
θανόμενος τοῦ ἰατροῦ πότερον θέρους μᾶλλον ἢ χειμῶνος
ὑγιαίνει, καὶ πότερον τὰ ὑγρὰ ῥᾷον ἢ τὰ ξηρὰ προσδέχεται,
καὶ πότερον φύσει πυκνὸν ἔχει τὸν σφυγμὸν ἢ μανόν· καὶ γὰρ F
ὠφέλιμον εἰδέναι τὰ τοιαῦτα καὶ ῥᾴδιον, ἀεί γε δὴ πειρωμέ-
νους καὶ συνόντας. βρωμάτων δὲ καὶ πομάτων τὰ χρήσιμα
μᾶλλον ἢ τὰ ἡδέα γιγνώσκειν προσήκει, καὶ μᾶλλον ἔμπειρον
εἶναι τῶν εὐστομάχων ἢ τῶν εὐστόμων, καὶ τῶν τὴν πέψιν
μὴ ταραττόντων | ἢ τῶν τὴν γεῦσιν σφόδρα γαργαλιζόντων. 137
τὸ γὰρ παρ' ἰατροῦ πυνθάνεσθαι τί δύσπεπτον ἢ εὔπεπτον
αὐτῷ καὶ τί δυσκοίλιον ἢ εὐκοίλιον οὐχ ἧττον αἰσχρόν ἐστιν
ἢ τὸ πυνθάνεσθαι τί γλυκὺ καὶ τί πικρὸν καὶ αὐστηρόν. νῦν
δὲ τοὺς μὲν ὀψοποιοὺς ἐπανορθοῦσιν, ἐμπείρως διαισθανόμε-
νοι ποῦ πλέον τὸ γλυκὺ τοῦ προσήκοντος ἢ τὸ ἁλμυρὸν ἢ τὸ
αὐστηρὸν ἔνεστιν· αὐτοὶ δ' ἀγνοοῦσι τί τῷ σώματι μιχθὲν
ἐλαφρὸν καὶ ἄλυπον ἔσται καὶ χρήσιμον. ὅθεν ζωμοῦ μὲν
ἄρτυσις οὐ πολλάκις ἁμαρτάνεται παρ' αὐτοῖς, αὑτοὺς δὲ φαύ-
λως ὁμοῦ καὶ κακῶς ἀρτύοντες ὁσημέραι πολλὰ παρέχουσι
πράγματα τοῖς ἰατροῖς. ζωμὸν μὲν γὰρ οὐκ ἄριστον ἡγοῦνται B
τὸν γλυκύτατον, ἀλλὰ καὶ πικρὰ καὶ δριμέα συμμιγνύουσιν·
εἰς δὲ τὸ σῶμα πολλὰς καὶ κατακόρους ἐμβάλλουσιν ἡδονάς,
τὰ μὲν ἀγνοοῦντες τὰ δ' οὐ μνημονεύοντες ὅτι τοῖς ὑγιεινοῖς